ἐναντίον αὐτοῦ ὡς παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ, οὐκ ἔστιν εἶδος
αὐτῷ οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλ-
λος· [3]ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον ἐκλεῖπον παρὰ πάντας ἀνθρώ- 3
πους, ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι
ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη.
[4]οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ 4
ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κα-
κώσει. [5]αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν καὶ μεμα- 5
λάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν,
τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. [6]πάντες ὡς πρόβατα ἐπλανήθημεν, 6
ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ κύριος παρέδωκεν αὐτὸν
ταῖς ἁμαρτίαις ἡμῶν. [7]καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει 7
τὸ στόμα· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον
τοῦ κείροντος αὐτὸν ἄφωνος οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.
[8]ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς 8
διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνο-
μιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. [9]καὶ δώσω τοὺς πονηροὺς 9
ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐ-
τοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι
αὐτοῦ. [10]καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν 10
δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ
βούλεται κύριος ἀφελεῖν [11]ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι 11
αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα
πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. [12]διὰ τοῦτο αὐτὸς 12
κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ᾽ ὧν
παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη·
καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν
παρεδόθη.
[1]Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ 54
ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης
τὸν ἄνδρα, εἶπεν γὰρ κύριος. [2]πλάτυνον τὸν τόπον τῆς σκηνῆς 2
σου καὶ τῶν αὐλαιῶν σου, πῆξον, μὴ φείσῃ· μάκρυνον τὰ σχοι-
νίσματά σου καὶ τοὺς πασσάλους σου κατίσχυσον. [3]ἔτι εἰς τὰ δεξιὰ 3
καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονο-

53 2 εναντ. αυτου / ως παιδ.] tr. BC = 𝔐 | ουδε $1^{0}$] ουτε S† || 3 εκλ(ε)ιπον] pr. και $BSC^{p}$ = 𝔐 | παντας ανθρωπους AQ] τους υιους των ανθρωπων BL, παντας τους(> $C^{p}$†) υιους των ανθρωπων SC || 4 ειναι > S*V† | πονοις S*† | πληγη] + υπο θεου C (in O sub ※) || 5 ανομιας ... αμαρτιας] tr. BC | εμαλακισθη A† || 7 κειραντος $AS^{c}$ | αυτον > BS*C || 8 ηρθη] ηχθη S*† || 9 αυτου $2^{0}$ > S*† | ευρεθη δολος $AQS^{c}C^{p}$] δολον BS*L, δολος $C^{p}$†: cf. 𝔐 || 10 της] pr. απο AL | υμων] ημ. BV† | βουλεται κυριος] tr. S†; + εν χειρι αυτου LC (in O sub ※) || 12 αμαρτιας ult. AQ] ανομιας BSLC

54 1 βοησον] + και τερπου L (in O sub ※) || 3 εις $2^{0}$ > BC